τόβουλος ἔφη· Καὶ μήν, ὦ Σώκρατες, τούτων ἐγὼ τῶν
μαθημάτων πάλαι ἐπιθυμῶ, ἄλλως τε καὶ εἰ ἐξαρ-
κέσει μοι ἡ αὐτὴ ἐπιστήμη ἐπὶ τοὺς ἀγαθοὺς τὰς ψυ-
χὰς καὶ ἐπὶ τοὺς καλοὺς τὰ σώματα. ⁋ Καὶ ὁ 31
Σωκράτης ἔφη· Ἀλλ᾽, ὦ Κριτόβουλε, οὐκ ἔνεστιν
ἐν τῇ ἐμῇ ἐπιστήμῃ τὸ τὰς χεῖρας προσφέροντα
ποιεῖν ὑπομένειν τοὺς καλούς. πέπεισμαι δὲ καὶ ἀπὸ
τῆς Σκύλλης διὰ τοῦτο φυγεῖν τοὺς ἀνθρώπους, ὅτι
τὰς χεῖρας αὐτοῖς προσέφερε· τὰς δέ γε Σειρῆνας,
ὅτι τὰς χεῖρας οὐδενὶ προσέφερον, ἀλλὰ πᾶσι πόῤ-
ῥωθεν ἐπῇδον, πάντας φασὶν ὑπομένειν, καὶ ἀκούον-
τας αὐτῶν κηλεῖσθαι. ⁋ Καὶ ὁ Κριτόβουλος ἔφη· 32
Ὡς οὐ προσοίσοντος τὰς χεῖρας, εἴ τι ἔχεις ἀγαθὸν
εἰς φίλων κτῆσιν, δίδασκε. ⁋ Οὐδὲ τὸ στόμα οὖν, ἔφη
ὁ Σωκράτης, πρὸς τὸ στόμα προσθήσεις; ⁋ Θάῤῥει,
ἔφη ὁ Κριτόβουλος· οὐδὲ γὰρ τὸ στόμα [πρὸς τὸ στό-
μα] προσοίσω οὐδενί, ἐὰν μὴ καλὸς ᾖ. ⁋ Εὐθύς, ἔφη,
σύ

Parif. et marg. Steph., cuius veſtigia latent in Iunt. ἔχειν θηρᾷν ἀνθρώπων, aut in Ald. ἔχειν θηρᾷν ἀνθρώπου. Sed Stephani ἔχειν θηρᾷν ἀνθρώπους eſt Xenophonte indignum. Nam ἀπείρως ἔχειν conſtrui poteſt vel ſequente genitiuo, vel ſequente πρὸς: nunquam vero cum ſimplici infinitiuo ſine τοῦ. Sic non modo dicitur ὀλιγώρως ἔχειν τινὸς, ſed et πρός τι: vt Aeſchin. adv. Timarch. 10, 13.

§. 31. οὐκ ἔνεστιν] Pariſ. I οὐκ ἔστιν.

πέπεισμαι] Reſcripſi πέπυσμαι, *audiui:* quod melius rei conuenit, et ſequenti φασὶν. (nec enim ipſe credebat) πέπεισμαι autem et πέπυσμαι facile permutantur. Probat hanc correctionem Doruillius ad Charit. p. 700. *Ern.* Sed, cum h. l. libri omnes in πέπεισμαι pertinaciter conſpirent (etiam Vatic. 1. Flor. A. B. C. E.), et bonum ſenſum habeat, nihil arbitror mutandum eſſe, praeſertim cum obſeruauerim πέπεισμαι ſic eſſe etiam aliis locis quam plurimis, vid. I, 6, 4: Oecon. XV, 5 ὅτι μὲν δεῖ ἐπίστασθαι — ῥᾳδίως πέπεισμαι, et Oec. VI, 11 πάνυ μοι δοκῶ πεπεῖσθαι ἱκανῶς, vbi pariter vt h. l. ſequitur ἔφησθα et ἀκούειν. *Hindeb.*

τῆς Σκύλλης] Iunt. τε Σκύλης: Pariſ. τῶν Σκύλης. De fabula ipſa vid. Homer. Odyſſ. μ', 85: Ceterum vulgatum φεύγειν mutare iuſſit ſequens προσέφερε et ipſa ratio.

§. 32. ὡς οὐ προσοίσοντος] Int. μου, vt eſt §. 33. *Ern.* Senſus eſt: *quia non manus iniiciam cuiquam.*

πρὸς τὸ στόμα προσοίσω] In edd. vett. et Pariſ. abſunt verba πρὸς τὸ στόμα, nec vertit Beſſario. Fortaſſis ex antec. ſunt interpolata.

εὐθὺς] Erneſtus V. C. corrigit αὖθις, *iterum.* Mihi videbatur εὐθὺς dici cum reſpectu ad ea, quae pollicitus erat Critobulus: ὡς οὐ προσοίσοντος — δίδασκε et breui poſt, θάῤῥει q. d. Socrates: *bene me iubes animo eſſe, et protinus tamen dixiſti, quod inutile eſt. Hindeb.*

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id375455116/155 gefördert von der Deutschen Forschungsgemeinschaft